τί δὴ προβάλλει τὴν χλαμύδ', ἢ βουβωνιᾷς
Ὑπὸ τῆς ὁδοῦ. Κη. πάλαι ὄργα ναὶ τὸν Κάστορα
Ἄνθρωπος. Πρ. ἀλλ' ἔνυκας ὦ μιαρώτατε.
Κη. Οὐ τὼ Δί' οὐκ ἔγωγα. μὴ δ' αὖ πλαδδίη.
Πρ. Τί δ' ἐστί σοι τοδί. Κη. σκυτάλα Λακωνικά.
Πρ. Εἴπερ γε χ' αὕτη 'στι σκυτάλη Λακωνική.
Ἀλλ' ὡς πρὸς εἰδότα με σὺ τἀληθῆ λέγε.
Τί τὰ πράγμαθ' ὑμῖν ἐστι τἀν Λακεδαίμονι;
Κη. Ὀρσὰ Λακεδαίμων πᾶα, καὶ τοὶ σύμμαχοι
Ἅπαντες ἐστύκαντι, Πελλάνας δὲ δεῖ.
Πρ. Ἀπὸ τοῦ δὲ τουτὶ τὸ κακὸν ὑμῖν ἐπέσεν.
Ἀπὸ Πανός; Κη. οὐκ. ἀλλ' ἆρχε μὲν οἰῶ Λαμπιτώ.
Ἔπειτα δ' ἄλλαι ταὶ κατὰ Σπάρταν ἅμα
Γυναῖκες ᾇπερ ἀπὸ μιᾶς ὕσπλαγίδος
Ἀπήλαον τὼς ἄνδρας ἀπὸ τῶν ὑσάκων.
Πρ. Πῶς οὖν ἔχετε; Κη. μογίομες. ἂν γὰρ τὰν πόλιν
Αἴπερ λυχνοφορίοντες ἀποκεκύφαμες.
Ταὶ γὰρ γυναῖκες οὐδὲ τῶ μύρτω θιγεῖν
Ἐῶντι, πρὶν ἅπαντες ἐξ ἑνὸς λόγω
Σπονδὰς ποιησόμεσθα ποττὰν Ἑλλάδα.
Ἀθη. Τουτὶ τὸ πρᾶγμα πανταχόθεν ξυνομώμοται
Ὑπὸ τῶν γυναικῶν ἀρτίως καταμανθάνω.
Ἀλλ' ὡς τάχιστα φράζε περὶ διαλλαγῶν
Αὐτοκράτορας πρέσβεις πέμπειν ἐνθαδί.
Ἐγὼ δ' ἑτέρους ἐνθένδε τῇ βουλῇ φράσω
Πρέσβεις ἑλέσθαι, τὸ πέος ἐπιδείξας τοδί.
Κη. Ποτάομαι. κράτιστα γὰρ πάντα λέγεις.

A *Aut quò sagum prætendis? an labor via*
*Tibi inguen inflat.* CAD. *Iamdiu ecastor homo*
*Turgescit ardens.* PROB. *at scelestè & arrigis.*
CAD. *Non certè ego, ah ne rursus accedas propè.*
PR. *Quid hic habes?* CAD. *Laconicam Scytalam puta.*
B PROB. *Scytala iste ramus si tamen Laconica est:*
*Mihi vt scienti vera nunc edissere.*
*Quis est apud vos publicæ status rei?*
CAD. *Arrecta tota est Sparta, neruus omnibus*
*Socijs rigore tenditur, Pallena opus est.*
C PROB. *Quis ergo vobis istud inuexit mali?*
A *Pane credo est.* CAD. *Lampito princeps, puto*
*Hoc fecit, vnà plurimæq́; fœminæ*
*Spartana in vrbe quæ viros ab Eugijs*
*Vnà expulerunt missione carcerum.*
PR. *Quid facitis ergo?* CAD. *vrgemur anxitudine,*
D *Totam per vrbem cernui ocquiniscimus*
*Vt qui lucernas præferunt: nam fœminæ*
*Nos horto abarcent, donec armis destitis*
*Coeat in vnum fœdus tota Græcia.*
ATH. *Hacpropter ergo vbique coniurauerant*
E *Vno ordine istud fœminæ, iam intelligo.*
*Sed iam facesse, dic statim legent viros*
*Ius summum habentes, fœdera hac qui sanciant,*
*Alios Senatui ipse dicam vt eligat*
*Hinc faciales, hoc rutabulum indicans.*
CH. M. *Læta efferor, nam dicis omnino optima.*
F

BISETVS. Πὰρ τὰν.] ὁ τῶν Λακεδαιμονίων κῆρυξ Ἀθήναζε μολὼν, τὴν τῶν Λακωνικῶν πραγμάτων κατάστασιν τοῖς Ἀθηναίοις δηλοῖ. Λάκων δὲ Λακωνικῶς λαλεῖ. ὅθεν παρὰ τὰν Ἀσανᾶν, ἀντὶ τοῦ ὅπου ἐστὶν ἡ τῶν Ἀθηνῶν, ἤγουν ἡ τῶν Ἀθηναίων γερουσία; Γερωχία.] εἴπερ ἡ λέξις καλῶς ἔχει, τοῦτο τῆς Λακωνικῆς διαλέκτου εἶναι φήσεις. παρὰ δὲ τῷ Ἡσυχίῳ γέγραπται γερουσία, πρεσβυτέρων πλῆθος γερόντων. τινὲς δὲ, ἐνταῦθα γερωσία γραπτέον οἴονται. ὅπερ ἀξιόπιστον. λῶ τὶ μυθίξαι νέον. ἐθέλω νέον τι μυθίσαι, μυθήσασθαι, λέγειν. Κονίσαλος.] λέγεται καὶ κονίσαλος, ὁ κονιορτός. ἡ Κονίσαλος δαίμων πριαπώδης, ἐκ τοῦ μὴ ὀκνεῖν, καὶ ἐπὶ κόνεως μίγνυσθαι. Σ. καὶ κονίσαλος, σκίρτησις σατυρική, ἢ τῶν ἐντεταμένων τὰ αἰδοῖα. Ἡσύχιος. Σὺ δὲ τίς ἐξ ὑπεναντίας τὸ ῥῆμα εἶ; ὅπερ μέτρον οὐ προσδέχεται.

CHR. Γερωχία.] Lege ἁ γερωχία, teste Hesychio & γερωνία & γεροντία dicitur apud Laconas qui γεροάκτας vocabant τοὺς δημάρχους. Sed quid sit γερουσία apud Spartanos, testantur & Demosthenes εἰς λεπτίνην, & Aristoteles 2. libr. Politic. certè summus magistratus. Η Κονίσαλος.] Deos minorum gentium vt Priapos sic vocabant ἐκ τοῦ μὴ ὀκνεῖν καὶ ἐπὶ κόνεως μίγνυσθαι. sanè conissalus &
G Orthanas Dij erant Athenis quales Priapi Latinis, de quibus Strabo lib. XIII. Geogr. & Athenæus lib. x. meminere. Apud Hesychium mendosos arguo codices qui habent ὀρεθανὴς, legendum enim suspicor ὀρθάνης vel ὀρθάνας. Vocem autem